*HN.* ποῦ τιν᾽ ἀνάκτων Τρωικῶν εὕρω;
ποῦ δῆθ᾽ Ἕκτωρ
τὸν ὑπασπίδιον κοῖτον ἰαύει;
τίνι σημήνω διόπων στρατιᾶς;
οἷα πεπόνθαμεν, οἷά τις ἡμᾶς
δράσας ἀφανῆ φροῦδος, φανερὸν
Θρῃξὶν πένθος τολυπεύσας.

*XO.* κακὸν κυρεῖν τι Θρῃκίῳ στρατεύματι
ἔοικεν, οἷα τοῦδε γιγνώσκω κλύων.

*HN.* ἔρρει στρατιά, πέπτωκεν ἄναξ
δολίῳ πληγῇ.
ἆ ἆ ἆ ἆ,
οἵα μ᾽ ὀδύνη τείρει φονίου
τραύματος εἴσω. πῶς ἂν ὀλοίμην;
χρῆν γάρ μ᾽ ἀκλεῶς Ῥῆσόν τε θανεῖν,
Τροίᾳ κέλσαντ᾽ ἐπίκουρον.

*XO.* τάδ᾽ οὐκ ἐν αἰνιγμοῖσι σημαίνει κακά·
σαφῶς γὰρ αὐδᾷ συμμάχους ὀλωλότας.

*HN.* κακῶς πέπρακται κἀπὶ τοῖς κακοῖσι πρὸς
αἴσχιστα· καίτοι δὶς τόσον κακὸν τόδε·
θανεῖν γὰρ εὐκλεῶς μέν, εἰ θανεῖν χρεών,
λυπρὸν μὲν οἶμαι τῷ θανόντι· πῶς γὰρ οὔ;
τοῖς ζῶσι δ᾽ ὄγκος καὶ δόμων εὐδοξία.
ἡμεῖς δ᾽ ἀβούλως κἀκλεῶς ὀλώλαμεν.
ἐπεὶ γὰρ ἡμᾶς Ἑκτορέα χεὶρ εὔνασε,
ξύνθημα λέξας, εὕδομεν πεδοστιβεῖς,
κόπῳ δαμέντες, οὐδ᾽ ἐφρουρεῖτο στρατὸς
φυλακαῖσι νυκτέροισιν, οὐδ᾽ ἐν τάξεσιν
ἔκειτο τεύχη, πλῆκτρά τ᾽ οὐκ ἐπὶ ζυγοῖς
ἵππων καθήρμοσθ᾽, ὡς ἄναξ ἐπεύθετο
κρατοῦντας ὑμᾶς κἀφεδρεύοντας νεῶν
πρύμναισι· φαύλως δ᾽ εὕδομεν πεπτωκότες.
κἀγὼ μελούσῃ καρδίᾳ λήξας ὕπνου

751. πῶς δ᾽ *A* (*B*?) *C* 753. κέλσαντες BC 755. αὐδᾷς BC
762. ἑκτορεία (-έα C) χεὶρ εὔνασε BC εὔνασ᾽ ἑκτορεία (-έα) χείρ *ABC* 769. πρύμνησι BC